γῶσι ποιούμενοι, τὰς κτήσεις ἀκαθαιρέτους διαφυλάττουσιν. ἐὰν δὲ οἱ τῆς ἐναντίας αἱρέσεως καθυπερτερήσωσι τοὺς κυρίους τόπους, ἢ ἐπανενεχθῶσιν ἐπ' αὐτοῖς, καθαιρέσεις ποιοῦνται τῶν ὑπαρχόντων, τοῦ καθολικοῦ καιροῦ λαμβανομένου, διὰ τῆς τῶν τὸ αἴτιον ποιούντων πρὸς τὰ κέντρα καὶ τὰς ἐπαναφορὰς προσνεύσεως.

## περὶ τύχης ἀξιωματικῆς.

Τὰ δὲ τῆς αὐτῆς ἀξίας καὶ τῆς τοιαύτης εὐδαιμονίας δεήσει σκοπεῖν, ἀπό τε τῆς τῶν φώτων διαθέσεως, καὶ τῆς τῶν δορυφορούντων ἀστέρων συνοροῶντα ταῖς οἰκειώσεσιν αὐτῶν. ἐν ἀρσενικοῖς μὲν γὰρ ζωδίοις ὄντων ἀμφοτέρων τῶν φώτων καὶ ἐπικέντρων, ἤτοι ἀμφοτέρων πάλιν, ἢ καὶ τοῦ ἑτέρου μάλιστα δὲ τοῦ τῆς αἱρέσεως καὶ δορυφορουμένου ὑπὸ τῶν πέντε πλανωμένων, πρὸς ☉ μὲν ἑῴων, ἑσπερίων δὲ, πρὸς ☾, οἱ γεννώμενοι βασιλεῖς ἔσονται. κἂν μὲν οἱ δορυφοροῦντες ἀστέρες ἤτοι ἐπίκεντροι καὶ αὐτοὶ ὦσιν ἢ πρὸς τὸ ὑπὲρ γῆν κέντρον συσχηματίζωνται, μεγάλοι καὶ δυναμικοὶ καὶ κοσμοκράτορες διατελοῦσι, καὶ ἔτι μᾶλλον εὐδαίμονες. ἐὰν δὲ τῶν ἄλλων οὕτως ἐχόντων, μόνος ὁ ☉ ἢ ἐν ἀρσενικῷ, ἡ δὲ ☾ ἐν θηλυκῷ, ἐπίκεντρον δὲ, τὸ ἕτερον τῶν φώτων, ἡγεμόνες μόνον ἔσονται ζωῆς καὶ θανάτου κύριοι. ἐὰν δὲ πρὸς τούτοις μὴ δὲ οἱ δορυφοροῦντες ἀστέρες ἐπίκεντροι ὦσιν ἢ μαρτυρήσωσι τοῖς κέντροις, μεγάλοι μόνον ἔσονται καὶ ἐν ἀξιώμασι τοῖς ἀπὸ μέρους στεμματοφόροις, ἢ ἐπιτροπικοῖς, ἢ στρατοπεδαρχικοῖς, καὶ οὐ δὴ τοῖς ἡγεμονικοῖς. ἐὰν δὲ τὰ μὲν φῶτα μὴ ᾖ ἐπίκεντρα, τῶν δὲ δορυφορούντων ἀστέρων οἱ πλείους, ἤτοι ἐπίκεντροι ὦσιν, ἢ συσχηματίζωνται τοῖς κέντροις, ἐν ἀξιώμασι μὲν ἐπιφανεστέροις οὐ γενήσονται, προσαγωγαῖς δὲ πολιτικαῖς, καὶ μετριότητι περὶ τὰς κατὰ τὸν βίον προλήψεις. μὴ δὲ τῶν δορυφορούντων μέντοι τοῖς κέντροις συνοικειωθέντων, ἀνεπίφαντοι ταῖς πράξεσι, καὶ ἀπρόκοποι καθίστανται, τέλεον δὲ ταπεινοὶ, καὶ κακοδαίμονες γίνονται ταῖς ψυχαῖς, ὅταν μηδέτερον τῶν φώτων, μήτε κεκεντρωμένον ᾖ, μήτ' ἐν ἀρσενικῷ ζωδίῳ τυγχάνῃ, μήτε δορυφ[illegible] ἤτοι ὑπὸ τῶν ἀγαθοποιῶν. ὁ μὲν οὖν καθόλου τύπος τῆς προκειμένης ἐπισκέψεως, τοιαύτην τινὰ τὴν αὐξομείωσιν ἔχει τῶν ἀξιωμάτων. τὰς δὲ μεταξὺ τούτων καταστάσεις παμπληθεῖς οὔσας, καταστοχαστέον, ἀπὸ τῶν περὶ αὐτὸ τὸ εἶδος τῶν τε φώτων καὶ τῆς δορυφορίας αὐτῶν ἰδίᾳ μέρους ἐναλλοιώσεως. καὶ